# Σηλυβρία (Ἄρχοντες αὐτῆς) Δεσπόται

51

Κεφ. Γ'. Περὶ τῶν φορεμάτων ἑκάστου τῶν Κωδινῷ: Ὀφφι-
τε ἀξιωμάτων ὀφφικίων κιάλιοι Παλαιὸ κτλ.

Τὸ περικάλυμμα τῆς κεφαλῆς τοῦ δεσπό-
του τὸ καλούμενον σκιάδιον ὁλομάργαρον
θάτερα αὐτοῦ ἔχει ὀνόματα τοῦ φοροῦντος αὐτό, χρυσο-
κλαβαρικόν, συρματεῖνον.

Τὰ σεῖα οἷα καὶ τὰ βασιλικά, πλὴν τοῦ κόμβου τῶν
φοινίκων. Τ

Τὸ κόκκινον φοῦχον αὐτοῦ, ὥσπερ τὸ βασιλικόν,
μετὰ φιβλῶν, ἄνευ τῶν γρατσηλακίων.

Τὸ ταμπάριον αὐτοῦ κόκκινον μετὰ μαργελ-
λίων.

Αἱ κάλτσαι κόκκιναι.

Τὰ δὲ ὑποδήματα αὐτοῦ διβολέα, χρώματος
ὀξέος καὶ λευκοῦ ἔχοντα ἀετοὺς μαργαριταρεῖνους
ἐκ πλαγίων καὶ ἐπὶ τῶν ταρσῶν, ἤτοι ἐπάνω
τῶν ὑποδημάτων τῶν μουζακίων.

Τὰ σίδηρα τῶν τῶν πτερνιστηρίων αὐτοῦ οἷα καὶ
τὰ βασιλικά, τὰ δὲ πτερνιστηρόλουρα διβολέα.

Ἡ σέλλα τοῦ ἀλόγου αὐτοῦ διβολέα ὡσαύτως,
μετὰ ἀετῶν μαργαριταρεῖνων ἔμπροσθέν τε καὶ
ὄπισθεν καὶ εἰς τέσσαρα μέρη τῶν ἱδρομαχίων,
ἔχουσα καὶ μαργέλλιον ἔμπροσθεν καὶ ὄπισθεν,
ὡς καὶ ἡ βασιλική.

Οὐ μὴν καὶ μετὰ μαργάρων τὸ κοπριτόριον.

Αἱ δὲ σκάλαι οἷαι καὶ αἱ βασιλικαί.

4/

καὶ αὐτίκα πάλιν πολυχρονίζουσι πάντες.

Ὁ δέ γε δεσπότης τὸν τοῦ βασιλέως κύλας ἀσπάζεται πόδα.

54

Ἀναστάντος οὖν, ὁ βασιλεὺς περιτίθησιν οἰκειοχείρως τῇ αὐτοῦ κεφαλῇ στέφανον διὰ λίθων καὶ μαργάρων, ἔχοντα καμάρας μικρὰς τέσσαρας ἔμπροσθέν τε καὶ ὄπισθεν καὶ ἐκ πλαγίων, εἰ ἄρα ὁ χειροτονηθεὶς βασιλέως υἱός ἐστιν, εἰ δὲ γαμβρὸς τύχοι ὤν, ἔμπροσθεν μόνον· ὃς δὴ στέφανος καλεῖται στεμματογύριον.

Καὶ πολυχρονίζουσιν αὖθις.

Ἔπειτα κλεισθέντος τοῦ διαφράγματος, ὁ μὲν βασιλεὺς ἀπέρχεται εἰς τὸ κοιτῶνα αὐτοῦ, ὁ δέ γε δεσπότης εἰς τὸ ἑαυτοῦ ὀσπίτιον μετὰ τῶν ῥηθέντων αὐτοῦ φορεμάτων, πάντων ἀρχόντων ἐφίππων ἀκολουθούντων αὐτῷ.